# ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ

1 Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς
τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ
οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες
τὴν ἀλήθειαν,
2 διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν,
καὶ μεθ᾽ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα·
3 ἔσται μεθ᾽ *ὑμῶν χάρις, ἔλεος, εἰρήνη
παρὰ Θεοῦ πατρός, καὶ παρὰ Κυρίου Ἰησοῦ
Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός, ἐν ἀληθείᾳ καὶ
ἀγάπῃ.
4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου
περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν
ἐλάβομεν παρὰ τοῦ πατρός.
5 Καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν
†γράφων σοι καινήν, ἀλλὰ ἣν εἴχομεν ἀπ᾽
ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους.
6 Καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν
κατὰ τὰς ἐντολὰς αὐτοῦ. Αὕτη ἐστὶν ἡ
ἐντολή, καθὼς ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα ἐν
αὐτῇ περιπατῆτε.
7 Ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν
κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν
ἐρχόμενον ἐν σαρκί. Οὗτός ἐστιν ὁ πλάνος
καὶ ὁ ἀντίχριστος.

---

* **1:3** ὑμῶν ¦ ἡμῶν ST † **1:5** γράφων ¦ γράφω ST

8 Βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσωμεν
ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη
ἀπολάβωμεν.
9 Πᾶς ὁ παραβαίνων καὶ μὴ μένων ἐν τῇ
διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ ἔχει· ὁ μένων ἐν
τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν πατέρα
καὶ τὸν υἱὸν ἔχει.
10 Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν
διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς
οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε·
11 ὁ γὰρ λέγων αὐτῷ χαίρειν κοινωνεῖ τοῖς
ἔργοις αὐτοῦ τοῖς πονηροῖς.
12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην
διὰ χάρτου καὶ μέλανος· ἀλλὰ ἐλπίζω ἐλθεῖν
πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι,
ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.
13 Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου
τῆς ἐκλεκτῆς. Ἀμήν.

# Η Καινή Διαθήκη
## The Greek Textus Receptus New Testament with manuscript annotations by Adam Boyd

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Manuscript comparison footnotes dedicated to the Public Domain by Adam Boyd. The Greek Textus Receptus New Testament is firmly in the Public Domain due to its age.

2025-04-18

---

PDF generated using Haiola and XeLaTeX on 18 Apr 2025 from source files dated 18 Apr 2025
14938461-2b7e-53fc-be03-d6f4d53f0f00